μέτρους παραλλαγήν, καί αὐτήν τήν διπλοπαραλλαγήν, ἔστιν ὅτε. καί
150 ἄλλων τινά οὐσίαν καί μελῳδίαν τοῦ προκειμένου ποιοῦσιν, ὅπερ εἴ τις ἐπιστημόνως ἔν τε τῷ παρ' ἡμῶν ἐκτεθέντι πρό τούτου περί τῆς ἀριθμήσεως τῶν φωνῶν καί τῆς τάξεως καί γνώσεως τῶν ἤχων ἐρευνήσει ἐν τῷ παρόντι κανονίῳ εὑρήσει ἄν διελθών.

Ταῦτα δέ πεπόνηται καί συντέτακται παρά τοῦ ἐλαχίστου τῶν ἱερέων
155 καί τῶν ἐμπείρων ἐν μουσικῇ, Ἰωάννου, οὗ τό ἐπίκλην ἔτυχε Πλουσιαδηνός. εἰ μέν οὖν ἱκανά ταῦτα, ὦ μουσικοί, καί ἡμῖν λυσιτελοῦντα εἴσεσθε, εὖ ἄν ἔχοι, καί τῷ Θεῷ χάρις τῷ φωτίζοντι τάς διανοίας ἡμῶν. εἰ δ' ἄχρηστα εὕροιτε καί ἀνωφελῆ, οὐ τῇ τέχνῃ τό ἔγκλημα, ἀλλά τῇ ἐμῇ ἀμαθείᾳ γραφήσεται. Τέλος εἴληφε ἐνταῦθα.

IV. Ἰωάννου Λάσκαρη, «Παραλλαγή τῆς μουσικῆς τέχνης» χφ. ΑΓ. Δ 570[25]

f.40 Ἑτέρα παραλλαγή τῆς μουσικῆς τέχνης, σοφωτέρα καί ἀκριβεστέρα εἰς ἄκρον, πονηθεῖσα δέ καί συνταχθεῖσα, παρά κύρ Ἰωάννου τοῦ Λάσκαρη τοῦ Καλομισίδου, καί μαΐστορος. ἐναντία μέν τοῖς πρώτοις, καί οὐκ ἐναντία. ἐναντία γάρ, πρός τούς μή εἰδότας ὡς γέγραπται. εἰς δέ τούς ἐντέχνως κα-
5 τέχοντας αὐτήν ἀκριβῶς, βεβαίωσίς τε μᾶλλον καί ἀναπλήρωσις, καί μεγίστη ἡδύτης, ἐντεῦθεν ἀναφανεῖσα τῇ τέχνῃ, ὡς τά ἐν αὐτῇ ἰδιώματα, σαφέστατα καταγγέλουσα, ἀποδεικνύουσα δέ, ἅπασαν τῶν τεσσάρων κυρίων ἤχων τήν ὑπόστασίν τε καί κίνησιν, καί τῶν τεσσάρων πλαγίων ἤχων αὐτῶν, ἔν τε ἀναβάσει καί καταβάσει. ἐν μέν τῇ ἀναβάσει τοῦ ἤχου ἐκ τῶν πλαγίων,
10 διφώνους καί τριφώνους, καί τετραφώνους ἀποτελοῦσι, καί εἰς τούς πλαγίους αὐτῶν καί υἱούς[26] καταλήγουσιν. ἐν δέ τῇ καταβάσει αὐτῶν ἐκ τῶν κυρίων, εἰς μέσους ἐκπίπτουσι, καί παραμέσους, εἰς πλαγίους τε καί παραπλα-
f.40v γίους. / καί εἰς αὐτόν τόν θεμέλιον καταλήγουσι, γέγραπται γάρ, ὅτι κύριοι ἤχοι, εἰσί τέσσαρες, καί τέσσαρες πλάγιοι. καί κύριοι μέν εἰσίν, ὁ πρῶτος,
15 ὁ δεύτερος, ὁ τρίτος, καί ὁ τέταρτος. οἱ πλάγιοι δέ εἰσίν, καί αὐτοί τέσσαρες. ὁ πλάγιος τοῦ πρώτου, ὁ πλάγιος τοῦ δευτέρου, ὁ πλάγιος τοῦ τρίτου, ἤγουν ὁ βαρύς, καί ὁ πλάγιος τοῦ τετάρτου. ἔχουσι δέ οἱ κύριοι ἤχοι, καί μέσους ἐν ταῖς κατιούσαις. ὁμοίως καί οἱ πλάγιοι μέσους ἐν ταῖς ἀνιούσαις, οὕς λέγομεν διφώνους. ὁ μέσος γάρ τοῦ πρώτου, ἐστίν ὁ βαρύς, καί ὁ μέσος
20 τοῦ δευτέρου ὁ πλάγιος τοῦ τετάρτου· ἔστι δέ καί ὁ τρίτος μέσος δευτέρου, καί πρώτου. καί ὁ μέσος τοῦ τρίτου, ὁ πλάγιος τοῦ πρώτου. καί ὁ μέσος τοῦ τετάρτου, ὁ πλάγιος τοῦ δευτέρου, ὅ(ς) καί καλεῖται λέγετο. τό γάρ λέγετο ἐστίν πλάγιος δευτέρου καί βαρύς. ἔχουσι δέ καί οἱ πλάγιοι ἤχοι ὡς προείπομεν, διφώνους ἐν ταῖς ἀνιούσαις. ὁ πλάγιος πρώτου, ἔχει δίφωνον τόν

25. Οι μαρτυρίες των ήχων στο κείμενο παραλείπονται.
26. Ο Ch. Bentas, μν. έργο, σελ. 22, γράφει: ἄλλους.

τρίτον, καί ὁ πλάγιος τοῦ δευτέρου, ἔχει δίφωνον τόν τέταρτον. καί ὁ πλάγιος τοῦ τρίτου, ἤγουν ὁ βαρύς, ἔχει δίφωνον τόν πρῶτον. καί ὁ πλάγιος
f.41 τοῦ τετάρτου / ἔχει δίφωνον τόν δεύτερον. ἔχουσι δέ καί τινα ἰδιώματα οἱ μέσοι ἀδόμενοι ἐκ τῶν κυρίων, ὅτι σχηματίζονται καί ἀλλοιοῦνται εἰς παραμέσους, καί οἱ πλάγιοι εἰς παραπλαγίους. οἱ δέ παράμεσοι τῶν κυρίων, εἰσίν οὗτοι· παράμεσος πρώτου, ὁ πλάγιος τοῦ δευτέρου. ἕτεροι λέγουσι τόν πλάγιον τοῦ τετάρτου ἤ τό νέανες. ὁ δέ παράμεσος τοῦ δευτέρου, ἐστίν ὁ βαρύς, καί ὁ παράμεσος τοῦ πρώτου, ὁ πλάγιος τοῦ δευτέρου· ὁμοίως καί ὁ πλάγιος τοῦ τετάρτου καί ὁ παράμεσος τοῦ τετάρτου πλάγιος τοῦ πρώτου. παραπλάγιοι δέ τούτων, εἰσίν οὗτοι. παραπλάγιος πρώτου ὁ πλάγιος τοῦ δευτέρου καί παραπλάγιος τοῦ δευτέρου, ὁ πλάγιος τοῦ πρώτου, καί παραπλάγιος τοῦ τρίτου, τό λέγετο καί παραπλάγιος τοῦ τετάρτου καί ὁ πλάγιος τοῦ τετάρτου, ὁ πλάγιος τοῦ τρίτου, ἤγουν ὁ βαρύς. ἔχουσι δέ οὗτοι, καί τριφώνους, καί τετραφώνους, οὕς καί παρακυρίους λέγομεν. ἐξ αὐτῶν γάρ καί νᾶοι γεννῶνται, καί πρωτόβαροι καί τετράφωνοι. τοῦτο γάρ γίνωσκε, ὦ ἀκροατά, ὅτι τρεπτικός ἐστίν ὁ ἦχος. καί διά τοῦτο οἱ κύριοι εἰς πλαγίους τρέπονται,
f.41v καί οἱ πλάγιοι εἰς / κυρίους τό ἀνάπαλιν, καθώς καί ὁ θαυμάσιος μαΐστωρ Ἰωάννης ὁ Κουκουζέλης, ἐν τῇ σοφωτάτῃ αὐτοῦ μεθόδῳ τῇ παραλλαγῇ, τοῦτο ὑπέδειξεν, ἐν μέν τῇ ἀναβάσει διά τοῦ ὀλίγου, τούς πλαγίους ἤχους, κυρίους ἀπέδειξεν, ἐν δέ τῇ καταβάσει διά τοῦ ἀποστρόφου τούς κυρίους ἤχους πλαγίους πάλιν ἀπέδειξεν. καί ταῦτα μέν περί τούτων. ὁ γάρ πλάγιος τοῦ πρώτου, ἔχει τρίφωνον τόν τέταρτον, καί τόν πρῶτον, τόν τέταρτον μέν, ἀπό τῆς ὑποκειμένης παραλλαγῆς. ἀπό δέ ἑτέρας διπλοπαραλλαγῆς, εὑρήσεις τόν πρῶτον ἀκωλύτως, καί οὐχί τόν τέταρτον. ὅταν γάρ ἐπάνω τοῦ τετάρτου διφωνίαν ποιήσῃς, εὑρήσεις τρίτον, ὡς παρά τοῦ πρώτου. καί καταβάς πάλιν δύο φωνάς ἐξ αὐτοῦ ἤγουν τοῦ τρίτου αὖτη γάρ ἡ πτῶσις γενᾶσθαι εἴωθεν μεταξύ πρώτου καί τετάρτου, πάλιν τόν αὐτόν ἦχον εὑρήσεις, ἤγουν τόν τέταρτον. καί ὁ πλάγιος τοῦ δευτέρου ἔχει τρίφωνον τόν πρῶτον καί τόν νεενανῶ, καί ὁ πλάγιος τοῦ τρίτου ἤγουν ὁ βαρύς, ἔχει τρίφωνον τόν δεύτερον. καί ὁ πλάγιος τοῦ τετάρτου, ἔχει τρίφωνον τόν τρίτον. οἱ γάρ τετρά-
f.42 φωνοι εἰσί τοῦ καθ' ἑνός ἤχου, ὁ κύριος αὐτοῦ. ὅ/ταν γάρ ἐξέλθῃς ἀπό τόν καθ' ἕν πλάγιον φωνάς τέσσαρας, αὐτός ἐστίν ὁ κύριος αὐτοῦ, ὁ λεγόμενος τετράφωνος. εἰσί δέ καί οἱ παρακύριοι τῶν ἤχων, ἤγουν τῶν πλαγίων αὐτῶν, οὗτοι. παρακύριος τοῦ πλαγίου πρώτου, ἐστίν ὁ δεύτερος. παρακύριος τοῦ πλαγίου δευτέρου ἐστίν ὁ τρίτος. παρακύριος τοῦ βαρέος ἐστίν ὁ τέταρτος. παρακύριος τοῦ πλαγίου τετάρτου, ἐστίν ὁ πρῶτος.

Γίνωσκε, ὦ ἀκροατά, ὅτι πᾶσα τριφωνία, τόν αὐτόν ἦχον ποιεῖ, ἤγουν ἀπό τόν καθ' ἕν ἦχον εὖγα φωνάς τρεῖς, πάλιν ὁ αὐτός ἦχος ἐστί. αὖτη ἐστί ἡ τριφωνία.